Ακαδημία Αθηνών / Academy of Athens

*ἀγομένη μεγίστη ὄ ρ θ ω σ ί ς ἐστι, καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σῳζομένου πάντα σῴζεται καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.*

**ὁρίζειν 1.** Ὁρίζω/περιορίζω, limit, Δημόκριτος 219 *χρημάτων ὄρεξις, ἢν μὴ ὁ ρ ί ζ η τ α ι κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη* **2.** Ὁρίζω/ἀποφασίζω, determine/decide, Δημόκριτος 262 *ὃς δ' ἂν παρὰ νόμον ἀπολύῃ κέρδει ὁ ρ ί ζ ω ν ἢ ἡδονῇ, ἀδικεῖ.*

**ὅρκος.** Ὅρκος, oath, Ἐμπεδοκλῆς 30.3 *πλατέος παρ' ἐλήλαται ὅ ρ κ ο υ* 115.2 *πλατέεσσι κατεσφρηγισμένον ὅ ρ κ ο ι ς* Δημόκριτος 239 *ὅ ρ κ ο υ ς οὓς ποιέονται ἐν ἀνάγκῃσιν ἐόντες οὐ τηρέουσιν οἱ φλαῦροι* 259.6 *ἱερὰ ἑκάστοισι ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅ ρ κ ο ι.*

**ὁρμᾶσθαι.** Ἐξορμῶ/ἀρχίζω, rush/start, Παρμενίδης 11.3 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ ὄλυμπος ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡ ρ μ ή θ η σ α ν γίγνεσθαι.*

**ὁρμὴ 1.** Ὁρμὴ/δύναμη, force/power, Ἐμπεδοκλῆς 35.13 *ὅσσον δ' αἰὲν ὑπεκπροθέοι, τόσον αἰὲν ἐπῄει ἠπιόφρων Φιλότητος ἀμεμφέος ἄμβροτος ὁ ρ μ ή* **2.** Ροπὴ/τάση, tendency, Ἐμπεδοκλῆς 114.3 *μάλα δ' ἀργαλέη γε τέτυκται ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα πίστιος ὁ ρ μ ή.*

**ὁρμίζεσθαι.** Προσορμίζομαι, moor, Ἐμπεδοκλῆς 98.3 *Κύπριδος ὁ ρ μ ι σ θ ε ῖ σ α τελείοις ἐν λιμένεσσιν.*

**ὀρνιθίαι (ἄνεμοι).** Ἐτήσιοι ἄνεμοι μεταγωγικοὶ τῶν ἀποδημητικῶν πουλιῶν, annual winds bringing the birds of passage, Δημόκριτος 14 (DK II 144,29) *ὀ ρ ν ι θ ί α ι.*

**ὀρνύναι** (συνών. *κινεῖν, ἀείρειν*). Ὑποκινῶ/ἐξωθῶ, impel/urge, Παρμενίδης 8.9 *τί δ' ἄν μιν καὶ χρέος ὦ ρ σ ε ν ὕστερον ἢ πρόσθεν, τοῦ μηδενὸς ἀρξάμενον, φῦν;* || **ὄρνυσθαι 1.** Ὑψώνομαι, be elevated, Ἐμπεδοκλῆς 2.9 *οὐ πλέον ἠὲ βροτείη μῆτις ὄ ρ ω ρ ε ν* **2.** Ἐφορμῶ, rush upon, Ἐμπεδοκλῆς 111.4 *παύ-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ